τές. ΣΩ. Ἴσως· ἀλλὰ γὰρ, ὦ Εὐθύφρον, καὶ ἄλλα πολλὰ φὴς εἶναι ὅσια; ΕΥΘ. Καὶ γάρ ἐστι. ΣΩ. Μέμνησαι [2] ἂν ὅτι οὐ τοῦτό σοι διεκελευόμην, ἕν τι ἢ δύο με διδάξαι τῶν πολλῶν ὁσίων· ἀλλ' ἐκεῖνο αὐτὸ τὸ εἶδος, ᾧ πάντα τὰ ὅσια ὅσιά ἐστιν· ἔφησθα γάρ πῃ μιᾷ ἰδέᾳ τά τε ἀνόσια, ἀνόσια εἶναι· καὶ τὰ ὅσια, ὅσια· ἢ [3] οὐ μνημονεύεις; ΕΥΘ. Ἔγωγε. ΣΩ. Ταύτην τοίνυν με αὐτὴν δίδαξον τὴν ἰδέαν τις ποτέ ἐστιν· ἵνα εἰς ἐκείνην ἀποβλέπων, καὶ χρώμενος αὐτῇ παραδείγματι, ὃ μὲν ἂν τοιοῦτον ᾖ, ὧν ἂν ἢ σὺ ἢ ἄλλός τις πράττῃ, φῶ ὅσιον εἶναι· ὃ δ' ἂν μὴ τοιοῦτον, μὴ φῶ. ΕΥΘ. Ἀλλ' εἰ ἕτω βέλει, ὦ Σώκρατες, καὶ ἕτω σοι φράσω. ΣΩ. Ἀλλὰ μὴν βέλομαί γε. ΕΥΘ. Ἔστι τοίνυν τὸ μὲν τοῖς θεοῖς προσφιλὲς, ὅσιον· τὸ δὲ μὴ προσφιλὲς, ἀνόσιον. ΣΩ. Παγκάλως, ὦ Εὐθύφρον, καὶ ὡς ἐγὼ ἐζήτουν ἀποκρίνασθαί σε, ἕτω νῦν ἀπεκρίνω· [4] εἰ μέντοι ὡς ἀληθῶς, τοῦτο ἔπω οἶδα· ἀλλὰ σὺ δηλονότι ἐπεκδιδάξεις ὡς ἔστιν ἀληθῆ ἃ λέγεις ΕΥΘ. Πάνυ μὲν οὖν. ΣΩ. Φέρε δὴ, ἐπισκεψώ- 8
μεθα τί λέγομεν. Τὸ μὲν θεοφιλές τε καὶ ὁ θεοφιλὴς ἄνθρωπος, ὅσιος· τὸ δὲ θεομισὲς καὶ ὁ θεομισὴς, ἀνόσιος· οὐ ταυτὸν δ' ἔστιν, ἀλλὰ τὸ ἐναντιώτατον τὸ ὅσιον τῷ ἀνοσίῳ· οὐχ [1] ἕτως; ΕΥΘ. Οὕτω μὲν οὖν. ΣΩ. Καὶ ξυγε φαίνεται εἰρῆσθαι. ΕΥΘ. Δοκῶ,

2 Ita legitur in Ald. et Baſ. 2. Sed Baſ. 1 habet μέμνησε· e quo manus docta in eo exemplari, quo ego vſus ſum, fecit μέμνησο, vt Stephanus legendum coniecit. quam coniecturam confirmat auctoritas atque fides librorum, quos Ficinus conſuluit. vertit enim *recordare*. Itaque Forſterus eam non dubitauit recipere.

3 Ald. Baſ. 2, Forſt. ἦ

4 Ald. Baſ. 1. 2, Morel. ἀπεκρίνω. At Aoriſtus ſic eſt vſitatior, occurritque paullo inferius in hoc ipſo dialogo.

1 Baſ. 1. 2 οὐχ'.